Νι. Πολλῷ γ' ὁ Βάκις ἐχρῆτο τῷ ποτηρείῳ.
Δημοσθ. Ὦ μιαρὲ Παφλαγὼν, ταῦτ' ἄρ' ἐφυλάττου πάλαι,
Τὸν περὶ σεαυτοῦ χρησμὸν ὀῤῥωδῶν. Νι. τιή;
Δημοσθ. Ἐνταῦθ' ἔνεστιν, αὐτὸς ὡς ἀπόλλυται.
Νι. Καὶ πῶς; Δημοσθ. ὅπως, ὁ χρησμὸς ἄντικρυς λέγει,
Ὡς πρῶτα μὲν στυππειοπώλης γίνεται,
Ὃς πρῶτος ἕξει τῆς πόλεως τὰ πράγματα.
Νι. Εἷς οὑτοσὶ πώλης. τί τοὐντεῦθεν; λέγε.
Δημοσθ. Μετὰ τοῦτον αὖθις προβατοπώλης δεύτερος.
Νι. Δύο τώδε πώλα, καὶ τί τοῦτον χρὴ παθεῖν;
Δημοσθ. Κρατεῖν, ἕως ἂν ἕτερος ἀνὴρ βδελυρώτερος
Αὐτοῦ γένοιτο, μετὰ δὲ ταῦτ' ἀπόλλυται.
Ἐπιγίνεται γὰρ βυρσοπώλης Παφλαγὼν,
Ἅρπαξ, κεκράκτης, Κυκλοβόρου φωνὴν ἔχων.
Νι. Τὸν προβατοπώλην ἦν ἄρ' ἀπολέσθαι χρεὼν
Ὑπὸ βυρσοπώλου; Δημοσθ. νὴ Δί'; Νι. οἴμοι δείλαιος.
Πόθεν οὖν ἂν ἔτι γένοιτο πώλης εἷς μόνος;
Δη. Ἔτ' ἐστὶν εἷς, ὑπερφυᾶ τέχνην ἔχων.
Νι. Εἰπὲ, ἀντιβολῶ, τίς ἐστιν; Δημοσθ. εἴπω; Νι. νὴ Δία.
Δη. Ἀλλαντοπώλης ἔσθ', ὁ τοῦτον ἐξολῶν.
Νι. Ἀλλαντοπώλης; ὦ Πόσειδον, τῆς τέχνης;
Φέρε, ποῦ τὸν ἄνδρα τοῦτον ἐξευρήσομεν;
Δημοσθ. Ζητῶμεν αὐτόν. Νι. ἀλλ' ὁδὶ προσέρχεται,
Ὥσπερ κατὰ θεῖον, εἰς ἀγοράν. Δημοσθ. ὦ μακάριε
Ἀλλαντοπώλα, δεῦρο δεῦρ' ὦ φίλτατε.
Ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῷν φανείς.

A NI. *Multo potu isthic sanè Bacis usus est.*
DE. *Scelestè Paphlago haeccine seruabas tam diu?*
*Metuens tuum de te ipso oraculum?* NI. *quid est?*
DE. *Inest huic chartæ: quonam pacto ipse pereat.*
NI. *Et quomodo?* DE. *Modum explicat hoc oraculum*
B *Manifestè: quòd primò stupparum venditor*
*Hic administraturus sit Rempublicam.*
NI. *Unus hic est venditor: quid deinde ait? cedò.*
DE. *Post hunc erit secundus ouium venditor.*
NI. *Duo iam sunt venditores: & quid alterum*
*Hunc pati opus est?* DE. *quid? tantisper dominarier*
C *Donec alius succedat ipso nequior.*
*Sed posthac interit: nam corij venditor*
*Iste Paphlago succedit in illius locum,*
*Homo rapax, vociferator, os Cyclobori habens.*
NI. *Erat ergo ita in fatis, ut ouium venditor*
*A venditore corij tolleretur è*
*Medio?* DE. *næ, per Iouem.* NI. *hei mihi misero, unde adhuc*
*Vel unus tantùm, post existat venditor?*
D DE. *Immò, est unus supra modum instructus dolis.*
NI. *Dic, obsecro, quis est?* DE. *dicámne?* NI. *per Iouem.*
DE. *Istum qui perdet, venditor est farcinum.*
NI. *Fartórne? próh Neptune, quæ hæc fallacia?*
*Cedò, ubinam istum inueniemus commodè virum?*
E DE. *Quæramus ipsum.* NI. *eccum ipso in tempore, in forum*
*Huc aduenit, quasi fato quodã.* DE. *euge optime*
*Fartor ades dum: huc ades, vir optatissime:*
*Seruator ades nobis, Reique publicæ.*

Σχόλια. Πολλῷ γ' ὁ Βάκις ἐχρῆτο.] ἀντὶ τοῦ πολλὰ ἔπινεν. Ὀῤῥωδῶν.] φοβούμενος. εὐλαβούμενος. ἀπὸ τοῦ τὸν ὄῤῥον τὸν δειλὸν ἰδίειν. τὸ ἑξῆς. ταῦτ' ὀῤῥωδῶν, ἐφυλάττου πάλαι τὸν περὶ σεαυτοῦ χρησμόν. ἄντικρυς δὲ φανερῶς διαῤῥήδην. Στυππειοπώλης.] ὁ τὰ στυππεῖα πωλῶν. τουτέστι καννάβινα λινᾶ. δηλοῖ δὲ τὸν Εὐκράτη καὶ τὴν ἐπ' αὐτοῦ πολιτείαν. ὃς στύππαξ ἐκαλεῖτο, διὰ τὸ στυππειοπώλης εἶναι, ὡς καὶ ἐν ἑτέροις. ἕξει δὲ ἀντὶ τοῦ καθέξει. διοικήσει καὶ διαχειριεῖ. Πώλης.] παρὰ τὸ τέλος τοῦ ὀνόματος παίζει. Προβατοπώλης.] τὸν Καλλίαν λέγει. καὶ τὴν πολιτείαν αὐτοῦ. τινὲς δὲ, ὅτι Λυσικλέα λέγει. ὃς προβατοπώλης ἐλέγετο. Δύο τώδε πώλα.] ἔπαιξε τοῖς ὀνόμασι. παρὰ γὰρ τὸ ἀποδίδοσθαι καὶ πωλεῖν τοὺς πολιτευομένους τὰ τῆς πόλεως πράγματα. κρατεῖν δὲ ἄρχειν καὶ διέπειν τὰ πολιτικά. δέον δὲ εἰπεῖν στρατηγὸς, Παφλαγὼν εἶπε. Κυκλοβόρου φωνὴν ἔχων.] Κυκλοβόρος ποταμὸς τῶν Ἀθηναίων, οὐκ ἀεὶ, οὐδὲ διὰ παντὸς ῥέων, ἀλλὰ χειμάῤῥους. φησὶν οὖν τραχεῖαν φωνὴν ἔχων καθάπερ ὁ ποταμὸς ἐπειδὰν ῥέῃ. ἢ ἀπὸ τοῦ τρεφομένου ἐκ τοῦ κύκλου. ὁ δὲ κύκλος Ἀθήνησίν ἐστι. καθάπερ Μάκελλος, ἐκ τῆς κατασκευῆς, τὴν προσηγορίαν λαβών. ἔνθα δὴ πιπράσκεται χωρὶς κρεῶν, τὰ ἄλλα ὤνια. ἐξαιρέτως δὲ οἱ ἰχθύες. οὕτω τὸν Κλέωνα δυνάμενον μέγα, καὶ φοβερὸν ὄντα, χρηματίζεται παρὰ τῶν πιπρασκόντων, ἵνα μὴ περιεργάζοιτο αὐτούς. καὶ ἴσως ὁμηρικώτερον ὠνόμασεν. ὁ μὲν γὰρ Ὅμηρος δημοβόρον φησὶ τὸν Ἀγαμέμνονα. λέγων δημοβόρος βασιλεὺς ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις. ἄλλως. ποταμὸς τῆς Ἀττικῆς χειμάῤῥους ὁ Κυκλοβόρος. ὑπὸ Ἀθηναίων χωσθείς. τὴν κακοφωνίαν οὖν τοῦ Κλέωνος, εἴκασε τῷ ἤχῳ τοῦ ποταμοῦ. καὶ ἀλλαχοῦ, ᾤμην δ' ἐγὼ τὸν Κυκλοβόρον κατιέναι. ἔνιοι δὲ, τόπος Κυκλοτερής, ἐν ᾧ τὰ ὤνια ἐπωλοῦντο ἃ ἐσφετερίζετο ὁ Κλέων. Πόθεν ἂν οὖν ἔτι γένοιτο.] ἔχων ἐν τῷ τέλει τὸ ὄνομα τὸ πώλης. διαβάλλει δὲ τοὺς Ἀθηναίους ὡς ἀγοραίους καὶ βαναύσους καθιστάντας τοὺς δημαγωγούς. Ὑπερφυᾶ.] ὑπερβάλλουσαν. θαυμαστὴν καὶ λαμπράν. ἐξαίρει δὲ νῦν αὐτοῦ τὴν τέχνην, ἵνα μᾶλλον ὀνειδίσῃ φανείσης αὐτοῦ τῆς τέχνης λίαν εὐτελοῦς. ἐξολῶν δὲ ἐκβαλεῖν μέλλων τῆς πολιτείας τὸν Κλέωνα. ἀλλαντοπώλην δὲ τὸν Ἀγοράκριτον λέγει οὕτως αὐτοῦ πεπλασμένον κατὰ κωμικὴν παιδιάν. Ὥσπερ κατὰ θεῖον εἰς